## τὸ ἀνάγνωσμα περὶ τῆς πείρας τοῦ Ἀβραάμ

Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ θεὸς ἐπείραζε τὸν Ἀβραὰμ καὶ εἶπε πρὸς αὐτόν· "Ἀβραὰμ Ἀβραάμ." ὁ δὲ εἶπεν "ἰδοὺ ἐγώ." καὶ εἶπε· "λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκον αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾽ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω." ἀναστὰς δὲ Ἀβραὰμ πρωὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾽ ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς πορεύθη καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεός. τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς εἶδε τὸν τόπον μακρόθεν. καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· "καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψωμεν πρὸς ὑμᾶς." ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ καὶ τὸ πῦρ χειρὶ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ εἴπας· "πάτερ." ὁ δὲ εἶπεν· "τί ἐστιν, τέκνον;" λέγων· "ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστιν τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν;" εἶπε δὲ Ἀβραάμ· "ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον." πορευθέντες δὲ ἀμφότεροι ἅμα ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτου λαβεῖν τὴν μάχαιραν καὶ σφάξαι τὸν υἱὸν αὐτοῦ. καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν αὐτῷ· "Ἀβραὰμ, Ἀβραάμ." ὁ δὲ εἶπεν· "ἰδοὺ ἐγώ." καὶ εἶπε· "μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων ὅτι φοβῇ τὸν θεὸν σὺ καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ."

---

## βοηθήματα

πορεύθητι, πορεύθη, ἐπορεύθησαν, πορευθέντες: τοῦ ῥήματος *πορεύω* ἐν τῇ παθητικῇ φωνῇ καὶ τῷ ἀορίστῳ. ἴδετε τὰ παραδείγματα ἐν τῷ τριακοσιοστῷ καὶ τρίτῳ καὶ ὀγδοηκοστῷ τμήματι τοῦ βιβλίου περὶ γραμματικῆς.

διελευσόμεθα: τοῦ ῥήματος *ἔρχομαι* τὰ κεφάλεια μέρη ἐστὶ *ἔρχομαι, εἶμι, ἦλθον*. πρὸς τούτῳ τῷ *εἶμι* ἐντεύξεσθε τῷ ἄλλῳ τύπῳ ("form") *ἐλεύσομαι*. ἐν τῷ ῥήματι *διέρχομαι* ἡ πρόθεσις *διά* καὶ τὸ ῥῆμα *ἔρχομαι* ἑνοῦνται ("are combined," literally, "are made one") ὥστε τὸ ῥῆμα *διέρχομαι* "I go or pass through" ἐν τῇ Ἀγγλικῇ σημαίνει.

ἐπέθηκεν: τοῦτο τὸ ῥῆμά ἐστι τοῦ τρίτου προσώπου καὶ τοῦ ἑνικοῦ ἀριθμοῦ ἐν τῷ ἀορίστῳ χρόνῳ καὶ τῇ ἐνεργητικῇ φωνῇ καὶ τῇ ὁριστηκῇ ἐνκλίσει ἀπὸ *ἐπιτίθημι (ἐπιθήσω, ἐπέθηκα)*. ἐν τούτῳ τῷ ῥήματι ἡ πρόθεσις *ἐπί* καὶ τὸ ῥῆμα *τίθημι* ἑνοῦνται. τὸ κατὰ τὴν αἰτιατικὴν διατιθέμενον ("direct object") *τὰ ξύλα* ἐστὶ καὶ τὸ κατὰ τὴν δοτικὴν διατιθέμενον ("indirect object") *Ἰσαὰκ*.

ἐπάνω: ἐν ταύτῃ τῇ προθέσει ἡ πρόθεσις *ἐπί* καὶ τὸ ἐπίρρημα *ἄνω* ἑνοῦνται. *ἐπάνω* διατιθέμενον κατὰ τὴν γενικήν προσλαμβάνει ("takes as an object").

λαβεῖν: τοῦτό ἐστι τὸ ἀπαρέμφατον ("infinitive") ῥῆμά ἐν τῷ ἀορίστῳ χρόνῳ καὶ τῇ ἐνεργητικῇ φωνῇ ("active voice") ἀπὸ *λαμβάνω (λήψομαι, ἔλαβον)* καὶ δείκνυσι διὰ τί Ἀβραάμ ἐξέτεινεν τὴν χεῖρα. οἱ Ἀθηναῖοι *ὡς ληψόμενος* (i.e., ὡς with the future participle) ἔγραφον.

ἐπιβάλῃς καὶ ποιήσῃς: ταῦτα τὰ ῥήματα ἐν τῷ ἀορίστῳ χρόνῳ καὶ τῇ ὑποτακτικῇ ἐνκλίσει ("subjunctive mood") καὶ χρῶνται εἰς ἀποφατικὰς προστάξεις ("negative commands").

---

## λεξικὸς κατάλογος

※ Green background color indicates core vocabulary.

| τὰ ὀνόματα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| ἡ ὁλοκάρπωσις, ὁλοκαρπώσεως | presentation of an offering | LSJ | 268 | |
| | | | | |

| | | | | |
|---|---|---|---|---|
| τὸ ξύλον, τοῦ ξύλου | wood, firewood | LSJ | 231 | Her. |
| τὸ παιδάριον, τοῦ παιδαριου | (diminutive of παῖς), small child, young slave | LSJ | 231 | Xen. |
| τὸ πῦρ, τοῦ πυρός | fire | LSJ | 285 | Her. |
| ἡ μάχαιρα, τῆς μαχαίρας | knife | LSJ | 216 | Xen. |
| ὁ οὐρανός, τοῦ οὐρανοῦ | heaven, sky | LSJ | 231 | Her. Xen. |

| τὰ ἐπίθετα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| ἀγαπητός, -ή, -όν | beloved | LSJ | 287 | |

| τὰ ῥήματα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| πειράζω, πειράσω, ἐπείρασα | I try, tempt a person, put a person to a test | LSJ | 383 | Her. Xen. |
| ἀγαπάω, ἀγαπήσω, ἠγάπησα | I treat with affection | LSJ | 385 | Xen. |
| φέρω, οἴσω, ἤνεγκον | I carry<br>ἀναφέρω I carry, bring up | LSJ | 383 | Her. Xen. |
| ἐπισάττω, ἐπεσάξω, ἐπέσαξα | I pile a load on | LSJ | 383 | Her. |
| σχίζω, σχίσω, ἔσχισα | I split, cut | LSJ | 383 | Her. |
| προσκυνέω, προσκυνήσω, προσέκυνησα | I make obeisance, fall down and worship, prostrate myself before | LSJ | 385 | Her. |
| τίθημι, θήσω, ἔθηκα | I put, place<br>μετὰ τῆς προθέσεως *ἐπί* I place on, load upon | LSJ | 416 | Her. Xen. |
| συμποδίζω, συμποδίσω, συνεπόδισα | I tie the feet together | LSJ | 383 | |
| ἐκτείνω, ἐκτενῶ, ἐξέτεινα | I stretch out, extend | LSJ | 383 | |
| σφάζω, σφάξω, ἔσφαξα | I cut the throat, slay, kill | LSJ | 383 | Her. Xen. |
| φοβέω, φοβήσω, ἐφόβησα | I frighten, terrify, cause to flee<br>ἐν τῇ μέσῃ φωνῇ I am terrified, fear | LSJ | 385 | Her. Xen. |
| φείδομαι, φείσομαι, ἐφεισάμην | I spare | LSJ | 383 | Her. Xen. |

| τὰ ἐπιρήματα | English Definition | Dict. | Gram. | Author |
|---|---|---|---|---|
| αὐτοῦ | just here | LSJ | 342 | Her. Xen. |

| | | | | |
|---|---|---|---|---|
| πρωί | early | LSJ | 583 | |
| ἅμα | at the same time, together | LSJ | 344 | Her. Xen. |